**δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς συλλαβήν**

TRICH. 376. 28 sq. ἑξάμετρον δέ (*scil.* δακτυλικόν), εἰς συλλαβὴν μὲν καταλῆγον τό·

ἃ τὸν παντογόνου αἰωνοτόκοιο λόγον.

ANON. HARL. 17. 7 sqq. ἑτέρα δὲ (*scil.* κατάληξις τοῦ ἡρωικοῦ) ἡ καλουμένη αἰολική, ἥτις τὸν μὲν πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων, τοὺς δὲ ἑξῆς πλὴν τοῦ τελευταίου πάντας δακτύλους, τὸν δὲ τελευταῖον ἢ δάκτυλον ἢ ἀμφίμακρον· εἰ δέ ἐστι καταληκτικὸν εἰς συλλαβήν, τροχαῖον, εἰ δὲ βραχυκατάληκτον, μίαν συλλαβὴν μακρὰν ἢ καὶ βραχεῖαν διὰ τὸ ἀδιαφορεῖν τὸ τέλος παντός μέτρου.

SCHOL. VET. in Theocr. 47 arg. c (p. 336. 15 sqq. Wendel) τὸ ἐπιγραμμάτιον ἡ Σῦριγξ τοῦ Θεοκρίτου συνέστηκεν ἐκ μέτρων ὅλων μὲν δακτυλικῶν, ποσότητι δὲ διαφερόντων. τὸ μὲν γὰρ πρῶτον δίστιχον ἑξάμετρον ἀκατάληκτον μετρούμενον ὡς οἱ ἡρωικοί, τὸ δεύτερον δὲ ἑξάμετρον καταληκτικόν, τὸ τρίτον πεντάμετρον ἀκατάληκτον.

SCHOL. B in Hephaest. 273. 18 sqq. ἑξάμετρον δὲ (*scil.* δακτυλικόν) καταληκτικὸν μὲν εἰς συλλαβὴν ἐκ τῶν ὁμηρικῶν οὐκ ἔχομεν· εἴ που δέ τις ἐντύχοι, ἐστὶ τὸ μιᾷ συλλαβῇ περιττεῦον τοῦ πενταμέτρου ἀκαταλήκτου. [*S.D.B.*]